eul_wid: avo-aa

*Παντελεῖος ὁ ἐποποιός* · Panteleius the Epic Poet

## Warrior of Unyielding Bronze

*Ἀπόσπασμα*

**Period:** *Ἀρχαϊκή* Archaic
**Dialect:** *Ἐπική* Epic (Homeric)
**Domain:** *Ἔπος* Epic
**Format:** *Ἔμμετρος* Verse

unit_1 ὦ κενεοῦ καμάτοιο καὶ ἀπρήκτου πολέμοιο· ἡμετέρῳ βασιλῆι τί λέξομεν ἀντιάσαντες; ὦ βασιλεῦ, τί μ’ ἔπεμπες ἐπ’ ἀθανάτους πολεμιστάς; βάλλομεν, οὐ πίπτουσι· τιτρώσκομεν, οὐ φοβέονται. μοῦνος ἀνὴρ σύλησεν ὅλον στρατόν· ἐν δ’ ἄρα μέσσῳ αἱματόεις ἕστηκεν ἀτειρέος Ἄρεος εἰκών. δένδρον δ’ ὡς ἕστηκε σιδηρείαις ὑπὸ ῥιπαῖς κοὐκ ἐθέλει πεσέειν, τάχα δ’ ἔρχεται ἔνδοθι νηῶν·

unit_2 λῦε, κυβερνῆτα, νέκυος προφύγωμεν ἀπειλάς.